**0345-0407 - Iohannes Chrysostomus - In proditionem Judae [1]**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2062 125 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In proditionem Judae

[00001] ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΠΡΟΔΟΣΙΑΝ ΤΟΥ ΙΟΥΔΑ.

50.715

[00002] Νῦν Δάφνη τερπνὴ καὶ θεοφιλὴς, οὐ μόνον διειδέ στατα βλύζουσα νάματα, οὐ κόμας δένδρων χαριεστά τας ἐκτρέφουσα, ἀλλὰ προσλαβοῦσα ξένον φυτὸν τὸν σταυρόν·

[00003] νῦν σώφρων ἀληθῶς πηγὴ καὶ τῷ Πυθίῳ δαίμονι φοβερά.

[00004] Οὐκ ἔτι ποσὶν ἀνδρῶν ἀσεβῶν ἀνα [50.716] πεταννῦσα τὸ ἔδαφος, ἀλλ' ὑμῖν τοῖς εὐσεβέσι παρ έχουσα τὸ ἄλσος, εἰκόνα ποθουμένου χωρίου ἐκείνου, τοῦ κήπου φημὶ, ἐν ᾧ τοῦ Σωτῆρος ἡ προδοσία τε τόλμηται, καὶ τῆς σωτηρίας τῆς ἡμετέρας ἐφυτεύθη τὰ πράγματα.

[00005] Ἀλλὰ γὰρ οὐκ ἔχω τί φράσαι πρὸς τὴν [50.717] παροῦσαν πανήγυριν·

[00006] ἡ μὲν γὰρ πανήγυρις πρὸς κατηγορίαν τοῦ Ἰούδα τὴν ἐμὴν γλῶσσαν κινεῖ, ἡ δὲ φιλ ανθρωπία τοῦ Σωτῆρος ἐπιστρέφει μου τὸ στόμα πρὸς αὐτήν.

[00007] Καὶ δύο τούτοις συνέχομαι, μίσει προδότου, πόθῳ Δεσπότου·

[00008] νικᾷ δὲ πόθος τὸ μῖσος, μείζων ὑπάρ χων καὶ δυνατώτερος.

[00009] Διὸ τὸν προδότην καταλιπὼν τὸν εὐεργέτην ὑμνῶ, οὐχ ὅσον ἐστὶν ἄξιος, ἀλλ' ὅσον εἰμὶ δυνατὸς ἀνυμνῶ.

[00010] Πῶς ἔκλινεν οὐρανοὺς καὶ κατ έβη πρὸς τὴν γῆν;

[00011] πῶς ὁ πᾶσαν κτίσιν πληρῶν ἦλθε πρός με, γενόμενος δι' ἐμὲ, κατ' ἐμέ;

[00012] πῶς ὃν ᾔδει προδότην ἐσόμενον τοῦτον ἔλαβεν μαθητὴν, καὶ τὸν πολέμιον ὡς φίλον ἐνεκελεύσατο ἀκολουθεῖν αὐτῷ;

[00013] πῶς οὐκ ἔμελεν αὐτῷ περὶ τῆς προδοσίας, ἀλλὰ περὶ τῆς τοῦ προδιδόντος σωτηρίας ἐφρόντιζεν;

[00014] Ὀψίας γὰρ, φησὶ, γενομένης, ἀνέκειτο ὁ Ἰησοῦς μετὰ τῶν δώδεκα μαθητῶν αὐτοῦ, καὶ ἐσθιόντων αὐτῶν εἶπεν·

[00015] Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

[00016] Προεῖπεν τὴν προδοσίαν, ἵνα κωλύσῃ τὸ παρανόμημα·

[00017] ἀπρόσωπον τὴν πρόῤῥησιν ἐποιή σατο μὴ δυναμένην θριαμβεῦσαι τοῦ μαθητοῦ τὴν παρανομίαν τοὺς συνανακειμένους λανθάνουσαν.

[00018] Τίς Δεσπότου τοιαύτην φιλανθρωπίαν ἐθεάσατο;

[00019] Καὶ προδίδοται καὶ τὸν προδότην φιλεῖ.

[00020] Τίς καταφρονεῖ ται καὶ ἐλεεῖ;

[00021] πιπράσκεται καὶ λαμβάνει τὸν κακὸν ἔμπορον ὁμοτράπεζον, καὶ τοῦ ἐπιβουλεύσαντος φεί δεται;

[00022] Καὶ ἐσθιόντων αὐτῶν εἶπεν·

[00023] Ἀμὴν, ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

[00024] Ὡς ἄν θρωπος ἤσθιεν, καὶ ὡς Θεὸς τὸ μέλλον ἐφώνει·

[00025] τὰ τῇ ἐμῇ φύσει πρέποντα μετέρχεται δι' ἐμέ.

[00026] Πάντων δὲ τῶν μαθητῶν πληγέντων ὑπὸ τοῦ ῥήματος, καὶ τὰς ἑαυτῶν συνειδήσεις μαστιζόντων δεινῶς, καὶ τὸν τοῦ δείπνου καιρὸν ποιουμένων ἀθυμίας καιρὸν, ἑκάστου λέγοντος, Μήτι ἐγώ εἰμι, Κύριε;

[00027] καὶ βουλομένων τῷ διὰ τῆς ἐρωτήσεως ῥήματι τὴν ἀμεριμνίαν τῆς κακῆς ὑπονοίας εὑρεῖν, θεραπεύων τὰς τῶν ἀκαίρως πληττομένων ψυχὰς ὁ Σωτὴρ, φανερὸν τὸν ἀγνοούμενον διὰ τῆς ἀποκρίσεως καθίστησιν·

[00028] Ὁ ἐμβάψας μετ' ἐμοῦ, φησὶν, τὴν χεῖρα ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει·

[00029] καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ.

[00030] Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' ὃν ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται·

[00031] καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

[00032] Ἐλεεῖ τὸν ἑαυτοῦ ἐλεεῖν μὴ ἐθέλοντα, φείδεται τοῦ μὴ φεισαμένου τῆς οἰκείας ψυχῆς.

[00033] Παρῃτεῖτο γυμνῶσαι τὸν ἑαυτὸν πάλαι γυμνώσαντα, κἀκείνῳ καιρὸν μετανοίας διδοὺς, καὶ τοὺς λοιποὺς μαθητὰς ἀθυμοῦντας ἰώμενος·

[00034] ἀλλ' οὐδὲν ἐκ τούτων βελτίων ὁ προδότης ἐγένετο.

[00035] Δέον γὰρ ἦν αὐτῷ εὐθέως ἐξαναστῆναι τοῦ δείπνου μετ' ἐκεῖνα τὰ φρικωδέστατα ῥήματα, δέον τοὺς συμμαθητὰς παραλαβεῖν πρεσβευτὰς, δέον περιπλακῆναι τοῖς γόνασι τοῦ Σωτῆρος, καὶ τοιούτοις αὐτὸν ἐκμειλίξασθαι ῥήμασιν.

[00036] Ἥμαρτον, φιλάνθρωπε, ἥμαρτον, ἠνόμησα, τοῖς ἀνθρώποις πωλήσας ὀλίγου τιμήματος τὸν ἀτίμητον μαργαρίτην, ἠνόμησα τὸν ἀδαπάνητον

[00037] Επιτρέπετα

[00038] πλοῦτον ὀλίγων χρημάτων προϊέμενος.

[00039] Συγχώρησόν μοι τῷ τῆς ζημίας καὶ τῆς ἀπωλείας ἐμπόρῳ, συγχώρησόν μοι τῷ παρὰ τοῦ χρυσοῦ κλαπέντι τὸν λογισμόν·

[00040] σύγγνωθι τῷ παρὰ τῶν Φαρισαίων ἐξαπατηθέντι κακῶς.

[00041] Τούτων μὲν τῶν ῥημάτων οὐκ εἶπεν οὐδὲν, οὔτε ἐνενόησεν, διὰ δὲ ταχυτέρας φωνῆς ἐδήλου τὴν τῆς ψυχῆς ἰταμότητα βοῶν·

[00042] Μήτι ἐγώ εἰμι, Κύριε;

[00043] Ὢ γλώττης ἀναιδοῦς! ὢ ψυχῆς ἀτεράμονος! Ὡς ἀγνοῶν ἐρωτᾷ περὶ ὧν ἡ μελέτη, καὶ λανθάνειν ἐνόμιζεν τὸν ἀκοίμητον ὀφθαλμόν.

[00044] Ἐπὶ τῆς ψυχῆς τὸν δόλον ἐβάσταζεν, καὶ διὰ [50.718] τῆς γλώττης τὸν τῆς ἀγνοίας λόγον προέφερεν·

[00045] τῇ διανοίᾳ τὴν προδοσίαν κατειργάσατο, καὶ τῷ στόματι, ὡς ἐνόμισε, τὴν ἁμαρτίαν ἔκρυπτεν.

[00046] Τοῖς ῥήμασιν ὁμοίως τοῖς ἄλλοις μαθηταῖς ἐχρήσατο, ὁμοίῳ τρόπῳ μὴ χρώμενος·

[00047] λύκος ὢν τῇ γνώμῃ, ἀπεκρίνατο τῇ τῶν προβάτων φωνῇ.

[00048] Τί οὖν πρὸς αὐτὸν ὁ Σωτήρ;

[00049] Σὺ εἶπας.

[00050] Μακροθύμῳ φωνῇ διήλεγξεν τοῦ πονηροῦ τὴν σκηνήν.

[00051] Ἠδύνατο μὲν γὰρ εἰπεῖν πρὸς αὐτόν·

[00052] Τί λέγεις, βδελυρὲ καὶ πονηρέ;

[00053] τί λέγεις, δοῦλε χρημάτων καὶ τοῦ διαβόλου γνήσιε κοινωνέ;

[00054] τολμᾷς ἄγνοιαν ὑποκρίνεσθαι;

[00055] τολμᾷς κρύπτειν τὰ κρύπτεσθαι μὴ δυνάμενα;

[00056] μὴ γὰρ οὐ παρήμην κακουργοῦντί σοι τῇ θεότητι;

[00057] μὴ γὰρ οὐκ εἶδόν σε τῷ τῆς θεότητος ὀφθαλ-μῷ προσιόντα τοῖς ἀρχιερεῦσιν;

[00058] μὴ γὰρ οὐκ ἤκουον ἀπὼν λέγοντός σου, Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;

[00059] μὴ γὰρ οὐκ οἶδα καὶ πόσου πέπρακας;

[00060] Τί οὖν;

[00061] μετὰ τὸν ἔλεγχον οὕτως ἀναισχυντεῖς;

[00062] τί σκέπειν φιλονεικεῖς ἃ βούλει πράττειν;

[00063] ἐμοὶ γυμνὰ τὰ πάντα.

[00064] Οὕτως ἀποκριθῆναι δυνάμενος ὁ Χριστὸς οὐχ οὕτως ἐφθέγξατο, ἀλλ' ἁπλῶς καὶ ἀνεξικάκως καὶ πράως·

[00065] Σὺ εἶπας·

[00066] διδάσκων ἡμᾶς τοῖς ἐχθροῖς ἡμῶν οὕτω προσφέρεσθαι.

[00067] Ὅμως, μετὰ τοσαύτην περιοδείαν, ἔμεινεν Ἰούδας νοσῶν, ἀλλ' οὐ παρὰ τὴν τοῦ ἰατροῦ ἀμέλειαν, ἀλλὰ παρὰ τὴν τοῦ κάμνοντος.

[00068] Ὁ μὲν γὰρ προσήγαγε πάντα τὰ τῆς σωτηρίας φάρμακα, ὁ δὲ ταῦτα οὐκ ἠθέλησε δέξασθαι, ἀλλὰ μόνην τὴν φιλαργυρίαν εἰδὼς, ἠγάπησε μᾶλλον τὸν χρυσὸν ἢ τὸν Χριστὸν, καὶ γέγονε περὶ τοὺς μισθωσαμένους εὔνους τε καὶ πιστός.

[00069] Καὶ προσελθὼν Ἰούδας εἶπε τῷ Χριστῷ·

[00070] Χαῖρε, Ῥαββὶ, καὶ κατεφίλησεν αὐτόν.

[00071] Ξένος οὗτος προδοσίας τρόπος, ἀπὸ φιλήματος καὶ προσηγορίας ἐρχόμενος.

[00072] Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ·

[00073] Ἑταῖρε, ἐφ' ᾧ πάρει;

[00074] τί μοι χαίρειν ἐπιτάττεις, λυπεῖν προαιρούμενος;

[00075] τί τῷ ῥήματι θεραπεύεις, πλήττων τῷ πράγματι;

[00076] καλεῖς διδάσκαλον, μὴ ὢν μαθητής;

[00077] τί παρατιτρώσκεις τῆς ἀγάπης τὰ δίκαια;

[00078] τί σημεῖον προδοσίας ποιεῖς τῆς εἰρήνης τὸ σύμβολον;

[00079] τίνα μιμησάμενος τοῦτο πεποίηκας;

[00080] Οὕτως εἶδες πρώην τὴν πόρνην φιλοῦσάν μου τοὺς πόδας;

[00081] οὕτως ἐθεάσω γονυπετοῦντα τὸν ἑκατόνταρχον;

[00082] οὕτως εἶδες τοὺς δαίμονας ὑποπίπτοντας;

[00083] Οἶδα τίς σου τοῦ δολεροῦ φιλήματος ὑπέδειξε τὴν ὁδόν·

[00084] ὁ διάβολος τῆς περιπτύξεως ταύτης τὸν τρόπον ὑπέθετό σοι, σὺ δὲ κακῷ συμβούλῳ πεισθεὶς, ἐκείνου τὸ βούλημα πληροῖς.

[00085] Ἑταῖρε, ἐφ' ᾧ πάρει;

[00086] πλήρωσον τὰς κακὰς συνθήκας ἃς πρὸς τοὺς Φαρισαίους πεποίησαι·

[00087] συντέλεσον τὸ γραμματεῖον τῆς πράσεως·

[00088] ὑπόγραψον ὅπερ ὑπηγόρευσας·

[00089] παράδος τὸν παραδο-θῆναι βουλόμενον·

[00090] κτῆσαι λοιπὸν μετὰ τοῦ γλωσσοκόμου καὶ τὸ τῆς ἀδικίας βαλάντιον·

[00091] ὑποχώρησον τῷ ληστῇ μέλλοντι διὰ τῆς ὁμολογίας λαμβάνειν τὴν τά-ξιν, ἥν σοι διὰ προδοσίας ἀπώλεσας.

[00092] Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.

[00093] Καὶ τὸ προφητικὸν ἐκεῖνο λόγιον πέρας ἐλάμβανεν·

[00094] Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις·

[00095] καὶ πάλιν, Ἐκύκλωσάν με κύνες πολλοὶ, ταῦροι πίονες περιέσχον με.

[00096] Ἀλλ' ὢ τῆς ἀνεξικακίας τῆς μόνῳ πρεπούσης αὐτῷ! ἐν οὐρανῷ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ μὴ τολμῶντα προσβλέπειν τὴν ὑπερβάλλουσαν δόξαν, αὐτῶν ταῖς πτέρυξι καθάπερ χερσὶ καλύπτει τὰ πρόσωπα, καὶ ἐπὶ τῆς γῆς τῆς σαρκὸς αὐτοῦ κατεχομένης ὑπὸ χειρῶν ἀνόμων, ἠνείχετο.

[00097] Εἴδετε ποίου μακροθύμου καὶ

[00098] Επιτρέπετα

[00099] φιλανθρώπου Δεσπότου καθεστήκατε δοῦλοι;

[00100] Γίνεσθε οὖν τοιοῦτοι περὶ τοὺς [50.719] ἐχθροὺς τοὺς συνδούλους ὑμῶν, οἷον ἐθεάσασθε περὶ τοὺς πολεμίους γεγενημένον τὸν Κύριον.

[00101] Μέλλετε γὰρ καὶ ὑμεῖς ἐπὶ δεῖπνον συγκαλεῖσθαι πνευματικόν·

[00102] μέλλετε συνανακλίνεσθαι τῷ Δεσπότῃ·

[00103] μήτις Ἰούδας τὸν τρόπον ἐν ὑμῖν εὑρεθῇ·

[00104] πάντες μετὰ γαλήνης [50.720] καὶ εἰρήνης προσέλθητε, πάντες μετὰ καθαροῦ συνειδότος τῷ Σωτῆρι προσδράμωμεν.

[00105] Οὗτος γάρ ἐστι νηστεία τῶν πιστῶν καὶ ἑστίασις, οὗτος ὑπάρχει τροφεὺς καὶ τροφὴ, οὗτος ὑπάρχει ποιμὴν καὶ ἀμνός.

[00106] Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00107] Ἀμήν.

[00108] Επιτρέπετα

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In proditionem Judae [1]**

**Litterarum Omnium Conspectus: 121 Litterae, quae repetitae sunt in 5,949 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 405 | Α | 0913 | 4 |
| β | 0946 | 36 | Β | 0914 | 0 |
| γ | 0947 | 84 | Γ | 0915 | 1 |
| δ | 0948 | 113 | Δ | 0916 | 0 |
| ε | 0949 | 315 | Ε | 0917 | 5 |
| ζ | 0950 | 8 | Ζ | 0918 | 0 |
| η | 0951 | 94 | Η | 0919 | 1 |
| θ | 0952 | 81 | Θ | 0920 | 1 |
| ι | 0953 | 225 | Ι | 0921 | 3 |
| κ | 0954 | 163 | Κ | 0922 | 8 |
| λ | 0955 | 159 | Λ | 0923 | 0 |
| μ | 0956 | 209 | Μ | 0924 | 4 |
| ν | 0957 | 500 | Ν | 0925 | 3 |
| ξ | 0958 | 18 | Ξ | 0926 | 1 |
| ο | 0959 | 410 | Ο | 0927 | 12 |
| π | 0960 | 236 | Π | 0928 | 6 |
| ϱ | 0961 | 253 | Ρ | 0929 | 1 |
| ς | 0962 | 260 | • | 0930 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| σ | 0963 | 193 | Σ | 0931 | 12 |
| τ | 0964 | 473 | Τ | 0932 | 13 |
| υ | 0965 | 99 | Υ | 0933 | 7 |
| φ | 0966 | 49 | Φ | 0934 | 2 |
| χ | 0967 | 41 | Χ | 0935 | 5 |
| ψ | 0968 | 8 | Ψ | 0936 | 0 |
| ω | 0969 | 82 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 8 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 68 | έ | 8051 | 79 | ή | 8053 | 38 | ί | 8055 | 97 | ό | 8057 | 82 | ύ | 8059 | 44 | ώ | 8061 | 28 |
| ὰ | 8048 | 52 | ὲ | 8050 | 17 | ὴ | 80852 | 42 | ὶ | 8054 | 74 | ὸ | 8056 | 67 | ὺ | 8058 | 19 | ὼ | 8060 | 6 |
| ᾶ | 8118 | 3 | | | 0 | ῆ | 8134 | 43 | ῖ | 8150 | 47 | | | 0 | ῦ | 8166 | 57 | ῶ | 8182 | 40 |
| ἀ | 7936 | 54 | ἐ | 7952 | 71 | ἠ | 7968 | 5 | ἰ | 7984 | 16 | ὀ | 8000 | 4 | ὐ | 8016 | 43 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 2 | ἑ | 7953 | 6 | ἡ | 7969 | 8 | ἱ | 7985 | 2 | ὁ | 8001 | 16 | ὑ | 8017 | 27 | ὡ | 8033 | 5 |
| ἂ | 7938 | 0 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 4 |
| ἃ | 7939 | 2 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 2 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 10 | ἤ | 7972 | 2 | ἴ | 7988 | 1 | ὄ | 8004 | 0 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 0 | ἕ | 7957 | 0 | ἥ | 7973 | 2 | ἵ | 7989 | 1 | ὅ | 8005 | 5 | ὕ | 8021 | 7 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 3 | ἶ | 7990 | 12 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 1 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 3 |
| ᾳ | 8115 | 1 | | | 0 | ῃ | 8131 | 4 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 12 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 4 | | | 0 | ῇ | 8135 | 10 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 26 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In proditionem Judae [1]**

**Verborum Omnium Conspectus: 684Verba, quae repetita sunt in 3,523,407 occasionibus**

---

**ἃ** [00062]
**ἀγάπης** [00077]
**ἄγνοιαν** [00054]
**ἀγνοίας** [00044]
**ἀγνοούμενον** [00027]
**ἀγνοῶν** [00043]
**ἀδαπάνητον** [00036]
**ἀδικίας** [00090]
**ἀθυμίας** [00026]
**ἀθυμοῦντας** [00033]
**αἰῶνας** [00106]
**αἰώνων** [00106]
**ἀκαίρως** [00027]
**ἀκάνθαις** [00094]
**ἀκοίμητον** [00043]
**ἀκολουθεῖν** [00012]
**ἀληθῶς** [00003]
**ἀλλ** [00004] [00009] [00034] [00064] [00067]
**Ἀλλ** [00096]
**ἀλλὰ** [00002] [00013] [00067] [00068]
**Ἀλλὰ** [00005]
**ἄλλοις** [00046]
**ἄλσος** [00004]
**ἁμαρτίαν** [00045]
**ἀμέλειαν** [00067]
**ἀμεριμνίαν** [00027]
**ἀμὴν** [00015] [00023]
**Ἀμὴν** [00015] [00023]
**Ἀμήν** [00107]
**ἀμνός** [00105]
**ἄν** [00024]
**ἀνα** [00004]
**ἀναιδοῦς** [00043]
**ἀναισχυντεῖς** [00061]
**ἀνδρῶν** [00004]
**ἀνέκειτο** [00014]
**ἀνεξικακίας** [00096]
**ἀνεξικάκως** [00064]
**ανθρωπία** [00006]
**ἀνθρώποις** [00036]
**ἄνθρωπος** [00031]
**ἀνθρώπου** [00029] [00030]
**ἀνθρώπῳ** [00030]
**ἀνόμων** [00096]
**ἀνυμνῶ** [00009]
**ἄξιος** [00009]
**ἀπεκρίνατο** [00047]
**ἁπλῶς** [00064]
**ἀποκριθῆναι** [00064]
**ἀποκρίσεως** [00027]
**ἀπρόσωπον** [00017]
**ἀπωλείας** [00039]
**ἀπώλεσας** [00091]
**ἀπὼν** [00058]
**ἀρχιερεῦσιν** [00057]
**ἃς** [00086]
**ἀσεβῶν** [00004]
**ἀτεράμονος** [00043]
**ἀτίμητον** [00036]
**αὐτήν** [00006]
**αὐτὸν** [00035] [00048]
**αὐτόν** [00051] [00058] [00070] [00092]
**ΑΥΤΟΥ** [00001]
**αὐτοῦ** [00014] [00029] [00096]
**Αὐτῷ** [00106]
**αὐτῷ** [00012] [00013] [00031] [00035] [00072] [00096]
**αὐτῶν** [00014] [00022] [00096]

**βαλάντιον** [00090]
**βδελυρὲ** [00052]
**βελτίων** [00034]
**βλύζουσα** [00002]
**βούλει** [00062]
**βούλημα** [00084]
**βουλόμενον** [00089]
**βουλομένων** [00027]
**βοῶν** [00041]

**γαλήνης** [00104]
**γὰρ** [00005] [00006] [00014] [00035] [00051] [00056] [00057] [00058] [00059] [00068] [00101]
**γάρ** [00105]
**γεγενημένον** [00100]
**γέγονε** [00068]
**γέγραπται** [00029]
**γενομένης** [00014]
**γενόμενος** [00011]
**γῆν** [00010]
**γῆς** [00096]
**Γίνεσθε** [00100]
**γλῶσσαν** [00006]
**γλωσσοκόμου** [00090]
**γλώττης** [00043] [00044]
**γνήσιε** [00053]
**γνώμῃ** [00047]
**γόνασι** [00035]

γονυπετοῦντα [00081]
γραμματεῖον [00087]
γυμνὰ [00063]
γυμνῶσαι [00033]
γυμνώσαντα [00033]

δαίμονας [00082]
δαίμονι [00003]
Δάφνη [00002]
δὲ [00006] [00008] [00026] [00030] [00041] [00068] [00072] [00084]
δεινῶς [00026]
δεῖπνον [00101]
δείπνου [00026] [00035]
δένδρων [00002]
δέξασθαι [00068]
Δέον [00035]
δέον [00035] [00035]
Δεσπότη [00102]
Δεσπότου [00007] [00018] [00099]
δεται [00021]
δι [00011] [00025] [00030]
διὰ [00027] [00027] [00041] [00044] [00091] [00091]
διάβολος [00084]
διαβόλου [00053]
διανοίᾳ [00045]
διδάσκαλον [00076]
διδάσκων [00066]
διδοὺς [00033]
διειδέ [00002]
διήλεγξεν [00050]
δίκαια [00077]
Διὸ [00009]
δολεροῦ [00083]
δόλον [00044]
δόξα [00106]
δόξαν [00096]
δοῦλε [00053]
δοῦλοι [00099]
δοῦναι [00058]
δυνάμενα [00055]
δυναμένην [00017]
δυνάμενος [00064]
δυνατὸς [00009]
δυνατώτερος [00008]
δύο [00007]
δώδεκα [00014]

ἑαυτὸν [00033]
ἑαυτοῦ [00032]
ἑαυτῶν [00026]
ἐβάσταζεν [00044]
ἔβη [00010]
ἐγένετο [00034]
ἐγεννήθη [00031]
ἐγώ [00026] [00042]
ἔδαφος [00004]
ἐδήλου [00041]
ἐθεάσασθε [00100]
ἐθεάσατο [00018]
ἐθεάσω [00081]
ἐθέλοντα [00032]
εἰ [00031]
εἶδες [00080] [00082]
Εἴδετε [00097]
εἶδόν [00057]
εἰδὼς [00068]
εἰκόνα [00004]
εἰμὶ [00009]
εἰμι [00026] [00042]
εἴπας [00049] [00065]
εἶπε [00069]
εἰπεῖν [00051]
εἶπεν [00014] [00022] [00041] [00072]
εἰρήνης [00078] [00104]
εἰς [00106]
εἴς [00015] [00023]
ΕΙΣ [00001]
ἐκ [00034]
ἑκάστου [00026]
ἑκατόνταρχον [00081]
ἐκεῖνα [00035]
ἐκεῖνο [00093]
ἐκεῖνος [00031]
ἐκείνου [00004] [00084]
ἐκείνῳ [00030]
ἔκλινεν [00010]
ἐκμειλίξασθαι [00035]
ἐκράτησαν [00092]
ἔκρυπτεν [00045]
ἐκτρέφουσα [00002]
Ἐκύκλωσάν [00094] [00095]
ἔλαβεν [00012]
ἐλάμβανεν [00093]
ἔλεγχον [00061]
ἐλεεῖ [00020]
Ἐλεεῖ [00032]
ἐλεεῖν [00032]
ἐμβάψας [00028]
ἐμὲ [00011]
ἐμέ [00011] [00025]
ἔμεινεν [00067]
ἔμελεν [00013]
ἐμῇ [00025]
ἐμὴν [00006]
ἐμοὶ [00063]
ἐμοῦ [00028]
ἔμπορον [00021]
ἐμπόρῳ [00039]
ἐν [00004] [00028] [00094] [00096] [00103]
ἐνεκελεύσατο [00012]
ἐνενόησεν [00041]
ἐνόμιζεν [00043]

**ἐνόμισε** [00045]
**ἐξ** [00015] [00023]
**ἐξαναστῆναι** [00035]
**ἐξαπατηθέντι** [00040]
**ἐξεκαύθησαν** [00094]
**ἐπέβαλον** [00092]
**ἐπὶ** [00092] [00096] [00101]
**Ἐπὶ** [00044]
**ἐπιβουλεύσαντος** [00021]
**ἐπιστρέφει** [00006]
**ἐπιτάττεις** [00074]
**Επιτρέπετα** [00037] [00098] [00108]
**ἐποιή** [00017]
**ἐρχόμενος** [00071]
**ἐρωτᾷ** [00043]
**ἐρωτήσεως** [00027]
**ἐσθιόντων** [00014] [00022]
**ἐσόμενον** [00012]
**ἐστι** [00105]
**ἑστίασις** [00105]
**ἐστὶν** [00009]
**Ἑταῖρε** [00073] [00085]
**ἔτι** [00004]
**εὐεργέτην** [00009]
**εὐθέως** [00035]
**εὔνους** [00068]
**εὑρεθῇ** [00103]
**εὑρεῖν** [00027]
**εὐσεβέσι** [00004]
**ἐφ** [00073] [00085]
**ἐφθέγξατο** [00064]
**ἐφρόντιζεν** [00013]
**ἐφυτεύθη** [00004]
**ἐφώνει** [00024]
**ἐχθροῖς** [00066]
**ἐχθροὺς** [00100]
**ἔχουσα** [00004]
**ἐχρήσατο** [00046]
**ἔχω** [00005]

**ζημίας** [00039]

**ἡ** [00004] [00006] [00006] [00043] [00106]
**ἢ** [00068]
**ἠγάπησε** [00068]
**ᾔδει** [00012]
**Ἠδύνατο** [00051]
**ἠθέλησε** [00068]
**ἤκουον** [00058]
**ἦλθε** [00011]
**ἥμαρτον** [00036]
**Ἥμαρτον** [00036]
**ἡμᾶς** [00066]
**ἡμετέρας** [00004]
**ἡμῶν** [00066]
**ἥν** [00091]
**ἦν** [00031] [00035]
**ἠνείχετο** [00096]
**ἠνόμησα** [00036] [00036]
**ἤσθιεν** [00024]

**θέλετέ** [00058]
**Θεὸς** [00024]
**θεότητι** [00056]
**θεότητος** [00057]
**θεοφιλὴς** [00002]
**θεραπεύεις** [00075]
**θεραπεύων** [00027]
**θριαμβεῦσαι** [00017]
**θρωπος** [00024]

**ἰατροῦ** [00067]
**Ἰησοῦν** [00092]
**Ἰησοῦς** [00014] [00072]
**ἵνα** [00016]
**Ἰούδα** [00006]
**ΙΟΥΔΑ** [00001]
**Ἰούδας** [00067] [00069] [00103]
**ἰταμότητα** [00041]
**ἰώμενος** [00033]

**κἀγὼ** [00058]
**καθάπερ** [00096]
**καθαροῦ** [00104]
**καθεστήκατε** [00099]
**καθίστησιν** [00027]
**καθὼς** [00029]
**καιρὸν** [00026] [00026] [00033]
**κακὰς** [00086]
**κἀκείνῳ** [00033]
**κακῆς** [00027]
**κακὸν** [00021]
**κακουργοῦντί** [00056]
**κακῷ** [00084]
**κακῶς** [00040]
**καλεῖς** [00076]
**καλὸν** [00031]
**καλύπτει** [00096]
**κάμνοντος** [00067]
**κατ** [00010] [00011]
**καταλιπὼν** [00009]
**καταφρονεῖ** [00020]
**κατειργάσατο** [00045]
**κατεφίλησεν** [00070]
**κατεχομένης** [00096]
**κατηγορίαν** [00006]
**κήπου** [00004]

**κηρίον** [00094]
**κινεῖ** [00006]
**κλαπέντι** [00039]
**κοινωνέ** [00053]
**κόμας** [00002]
**κρύπτειν** [00055]
**κρύπτεσθαι** [00055]
**κτῆσαι** [00090]
**κτίσιν** [00011]
**κύνες** [00095]
**Κύριε** [00026] [00042]
**Κύριον** [00100]
**κωλύσῃ** [00016]

**λαμβάνει** [00021]
**λαμβάνειν** [00091]
**λανθάνειν** [00043]
**λανθάνουσαν** [00017]
**λέγεις** [00052] [00053]
**λέγοντός** [00058]
**λέγοντος** [00026]
**λέγω** [00015] [00023]
**ληστῇ** [00091]
**λόγιον** [00093]
**λογισμόν** [00039]
**λόγον** [00044]
**λοιπὸν** [00090]
**λοιποὺς** [00033]
**λύκος** [00047]
**λυπεῖν** [00074]

**μαθηταῖς** [00046]
**μαθητὰς** [00033]
**μαθητὴν** [00012]
**μαθητής** [00076]
**μαθητοῦ** [00017]
**μαθητῶν** [00014] [00026]
**μακροθύμου** [00097]
**Μακροθύμῳ** [00050]
**μᾶλλον** [00068]
**μαργαρίτην** [00036]
**μαστιζόντων** [00026]
**με** [00011] [00015] [00023] [00028] [00094] [00095] [00095]
**μείζων** [00008]
**μελέτη** [00043]
**μέλισσαι** [00094]
**Μέλλετε** [00101]
**μέλλετε** [00102]
**μέλλον** [00024]
**μέλλοντι** [00091]
**μὲν** [00006] [00029] [00041] [00051] [00068]
**μετ** [00028] [00035]
**μετανοίας** [00033]
**μετέρχεται** [00025]
**Μήτι** [00026] [00042]
**μήτις** [00103]
**μιμησάμενος** [00079]
**μίσει** [00007]
**μισθωσαμένους** [00068]
**μῖσος** [00008]
**μοι** [00039] [00039] [00058] [00074]
**μόνην** [00068]
**μόνον** [00002]
**μόνῳ** [00096]
**μου** [00006] [00080]

**νάματα** [00002]
**νηστεία** [00105]
**νικᾷ** [00008]
**νοσῶν** [00067]
**Νῦν** [00002]
**νῦν** [00003]

**ξένον** [00002]
**Ξένος** [00071]

**ὁ** [00011] [00014] [00027] [00029] [00030] [00031] [00034] [00048] [00064] [00068] [00084]
**Ὁ** [00028] [00068] [00072]
**ὁδόν** [00083]
**Οἶδα** [00083]
**οἶδα** [00059]
**οἰκείας** [00032]
**οἷον** [00100]
**ὀλίγου** [00036]
**ὀλίγων** [00038]
**ὁμοίῳ** [00046]
**ὁμοίως** [00046]
**ὁμολογίας** [00091]
**ὁμοτράπεζον** [00021]
**Ὅμως** [00067]
**ὃν** [00012] [00030]
**ὅπερ** [00088]
**ὅσον** [00009] [00009]
**ὅτι** [00015] [00023]
**οὐ** [00002] [00002] [00056] [00067]
**Οὐαὶ** [00030]
**οὐδὲν** [00034] [00041]
**Οὐκ** [00004]
**οὐκ** [00005] [00013] [00031] [00041] [00057] [00058] [00059] [00068]
**οὖν** [00048] [00060] [00100]
**οὐρανοὺς** [00010]
**οὐρανῷ** [00096]
**οὔτε** [00041]
**Οὗτος** [00105]
**οὗτός** [00028]
**οὗτος** [00071] [00105] [00105]

οὕτω [00066]
Οὕτως [00064] [00080]
οὕτως [00061] [00064] [00081] [00082]
οὐχ [00009] [00064]
ὀφθαλ μῷ [00057]
ὀφθαλμόν [00043]
Ὀψίας [00014]

πάλαι [00033]
πάλιν [00095]
πανήγυριν [00005]
πανήγυρις [00006]
πάντα [00063] [00068]
πάντες [00104] [00104]
Πάντων [00026]
παρ [00004]
παρὰ [00039] [00040] [00067] [00067]
παραδίδοται [00030]
παραδο θῆναι [00089]
παράδος [00089]
παραδώσει [00015] [00023] [00028]
παραδώσω [00058]
παραλαβεῖν [00035]
παρανόμημα [00016]
παρανομίαν [00017]
παρατιτρώσκεις [00077]
πάρει [00073] [00085]
παρήμην [00056]
Παρητεῖτο [00033]
παροῦσαν [00005]
πᾶσαν [00011]
πεισθεὶς [00084]
πεποίηκας [00079]
πεποίησαι [00086]
πέπρακας [00059]
πέρας [00093]
περὶ [00013] [00013] [00029] [00043] [00068] [00100] [00100]
περιέσχον [00095]
περιοδείαν [00067]
περιπλακῆναι [00035]
περιπτύξεως [00084]
πεταννῦσα [00004]
πηγὴ [00003]
πίονες [00095]
πιπράσκεται [00021]
πιστός [00068]
πιστῶν [00105]
πληγέντων [00026]
πληροῖς [00084]
πληρῶν [00011]
πλήρωσον [00086]
πληττομένων [00027]
πλήττων [00075]
πλοῦτον [00038]
πνευματικόν [00101]
πόδας [00080]
πόθος [00008]
ποθουμένου [00004]
πόθῳ [00007]
ποιεῖς [00078]
ποιμὴν [00105]
ποίου [00097]
ποιουμένων [00026]
πολέμιον [00012]
πολεμίους [00100]
πολλοὶ [00095]
πονηρέ [00052]
πονηροῦ [00050]
πόρνην [00080]
ποσὶν [00004]
πόσου [00059]
πράγματα [00004]
πράγματι [00075]
πράσεως [00087]
πράττειν [00062]
πράως [00064]
πρέποντα [00025]
πρεπούσης [00096]
πρεσβευτὰς [00035]
προαιρούμενος [00074]
προβάτων [00047]
προδιδόντος [00013]
προδίδοται [00019]
προδοσία [00004]
ΠΡΟΔΟΣΙΑΝ [00001]
προδοσίαν [00016] [00045]
προδοσίας [00013] [00071] [00078] [00091]
προδότην [00009] [00012] [00019]
προδότης [00034]
προδότου [00007]
Προεῖπεν [00016]
προέφερεν [00044]
πρόῤῥησιν [00017]
πρὸς [00005] [00006] [00006] [00010] [00048] [00051] [00086]
πρός [00011]
προσβλέπειν [00096]
προσδράμωμεν [00104]
προσέλθητε [00104]
προσελθόντες [00092]
προσελθὼν [00069]
προσήγαγε [00068]
προσηγορίας [00071]
προσιόντα [00057]
προσλαβοῦσα [00002]
προσφέρεσθαι [00066]
πρόσωπα [00096]
προφητικὸν [00093]
προϊέμενος [00038]
πρώην [00080]
πτέρυξι [00096]
Πυθίῳ [00003]
πῦρ [00094]
πωλήσας [00036]
Πῶς [00010]

**πῶς** [00011] [00012] [00013]

**Ῥαββὶ** [00070]
**ῥήμασιν** [00035] [00046]
**ῥήματα** [00035]
**ῥήματι** [00027] [00075]
**ῥήματος** [00026]
**ῥημάτων** [00041]

**σαρκὸς** [00096]
**σατο** [00017]
**σε** [00057]
**Σεραφὶμ** [00096]
**σημεῖον** [00078]
**σκέπειν** [00062]
**σκηνήν** [00050]
**σοι** [00056] [00084] [00091]
**σου** [00058] [00083]
**στατα** [00002]
**σταυρόν** [00002]
**στόμα** [00006]
**στόματι** [00045]
**Σὺ** [00049] [00065]
**σὺ** [00084]
**σύγγνωθι** [00040]
**συγκαλεῖσθαι** [00101]
**Συγχώρησόν** [00039]
**συγχώρησόν** [00039]
**σύμβολον** [00078]
**συμβούλῳ** [00084]
**συμμαθητὰς** [00035]
**συνανακειμένους** [00017]
**συνανακλίνεσθαι** [00102]
**συνδούλους** [00100]
**συνειδήσεις** [00026]
**συνειδότος** [00104]
**συνέχομαι** [00007]
**συνθήκας** [00086]
**συντέλεσον** [00087]
**Σωτὴρ** [00027]
**Σωτήρ** [00048]
**Σωτῆρι** [00104]
**σωτηρίας** [00004] [00013] [00068]
**Σωτῆρος** [00004] [00006] [00035]
**σώφρων** [00003]

**τὰ** [00004] [00025] [00035] [00055] [00063] [00068] [00077] [00096] [00096] [00096]
**τά ξιν** [00091]
**ται** [00020]
**ταῖς** [00096]
**τὰς** [00026] [00027] [00086] [00092]
**τας** [00002]
**ταῦροι** [00095]
**ταῦτα** [00068]
**ταύτης** [00084]
**ταχυτέρας** [00041]
**τε** [00004] [00068]
**τερπνὴ** [00002]
**τῇ** [00025] [00045] [00047] [00047] [00056]
**THN** [00001]
**τὴν** [00005] [00006] [00010] [00016] [00017] [00017] [00027] [00028] [00041] [00045] [00045] [00050] [00067] [00067] [00068] [00080] [00083] [00091] [00096]
**τῆς** [00004] [00004] [00013] [00013] [00027] [00027] [00027] [00032] [00039] [00039] [00041] [00044] [00044] [00044] [00057] [00068] [00077] [00078] [00084] [00087] [00090] [00091] [00096] [00096] [00096] [00096]
**Τί** [00048] [00052] [00058] [00060]
**τί** [00005] [00053] [00062] [00074] [00075] [00077] [00078]
**τιμήματος** [00036]
**τίνα** [00079]
**Τίς** [00018] [00020]
**τίς** [00083]
**τὸ** [00004] [00004] [00006] [00008] [00016] [00024] [00078] [00084] [00087] [00090] [00093]
**τοιαύτην** [00018]
**τοιοῦτοι** [00100]
**τοιούτοις** [00035]
**Τοῖς** [00046]
**τοῖς** [00004] [00035] [00036] [00046] [00057] [00066]
**τολμᾷς** [00054] [00055]
**τόλμηται** [00004]
**τολμῶντα** [00096]
**τὸν** [00002] [00009] [00009] [00012] [00019] [00021] [00026] [00027] [00032] [00033] [00036] [00036] [00039] [00043] [00044] [00044] [00061] [00068] [00068] [00081] [00084] [00089] [00092] [00100] [00103]
**τοσαύτην** [00067]
**Τότε** [00092]
**TOΥ** [00001] [00001]
**τοῦ** [00004] [00004] [00006] [00006] [00013] [00017] [00021] [00026] [00026] [00029] [00030] [00032] [00035] [00035] [00039] [00050] [00053] [00067] [00067] [00083] [00090]
**τοὺς** [00017] [00033] [00035] [00068] [00080] [00082] [00086] [00100] [00100] [00100] [00106]
**τοῦτο** [00079]
**τούτοις** [00007]
**τοῦτον** [00012]
**Τούτων** [00041]
**τούτων** [00034]
**τρόπον** [00084] [00103]
**τρόπος** [00071]
**τρόπῳ** [00046]
**τροφεὺς** [00105]
**τροφὴ** [00105]
**τρυβλίῳ** [00028]
**τῷ** [00003] [00027] [00028] [00030] [00039] [00039] [00040] [00045] [00057] [00069] [00075] [00075] [00091] [00102] [00104]
**τῶν** [00014] [00026] [00027] [00040] [00041] [00047] [00105] [00106]

**Υἱὸς** [00029] [00030]
**ὑμεῖς** [00101]
**ὑμῖν** [00004] [00015] [00023] [00058] [00103]
**ὑμνῶ** [00009]
**ὑμῶν** [00015] [00023] [00100]
**ὑπάγει** [00029]
**ὑπάρ** [00008]
**ὑπάρχει** [00105] [00105]
**ὑπέδειξε** [00083]
**ὑπέθετό** [00084]
**ὑπερβάλλουσαν** [00096]

**ὑπηγόρευσας** [00088]
**ὑπὸ** [00026] [00096]
**ὑπόγραψον** [00088]
**ὑποκρίνεσθαι** [00054]
**ὑπονοίας** [00027]
**ὑποπίπτοντας** [00082]
**ὑποχώρησον** [00091]

**φανερὸν** [00027]
**Φαρισαίους** [00086]
**Φαρισαίων** [00040]
**φάρμακα** [00068]
**φεί** [00021]
**φείδεται** [00032]
**φεισαμένου** [00032]
**φημὶ** [00004]
**φησὶ** [00014]
**φησὶν** [00028]
**φιλ** [00006]
**φιλάνθρωπε** [00036]
**φιλανθρωπίαν** [00018]
**φιλανθρώπου** [00099]
**φιλαργυρίαν** [00068]
**φιλεῖ** [00019]
**φιλήματος** [00071] [00083]
**φίλον** [00012]
**φιλονεικεῖς** [00062]
**φιλοῦσάν** [00080]
**φοβερά** [00003]
**φράσαι** [00005]
**φρικωδέστατα** [00035]
**φύσει** [00025]
**φυτὸν** [00002]
**φωνῇ** [00047] [00050]
**φωνῆς** [00041]

**Χαῖρε** [00070]
**χαίρειν** [00074]
**χαριεστά** [00002]
**χεῖρα** [00028]
**χεῖρας** [00092]
**χειρῶν** [00096]
**Χερουβὶμ** [00096]
**χερσὶ** [00096]
**χρημάτων** [00038] [00053]
**Χριστὸν** [00068]
**Χριστὸς** [00064]
**Χριστῷ** [00069]
**χρυσὸν** [00068]
**χρυσοῦ** [00039]
**χρώμενος** [00046]
**χων** [00008]
**χωρίου** [00004]

**ψυχὰς** [00027]
**ψυχῆς** [00032] [00041] [00043] [00044]

**ὢ** [00043] [00096]
**Ὢ** [00043]
**ᾧ** [00004] [00073] [00085]
**ὢν** [00047] [00076]
**ὧν** [00043]
**ὡς** [00012] [00024] [00045] [00094]
**Ὡς** [00024] [00043]
**ὡσεὶ** [00094]